eul_wid: gze-aa

Ἀρίφρων ὁ Σικυώνιος · Ariphron of Sicyon

# Hymn to Health

## Ἀποσπάσματα

**Period:** *Κλασική* Classical
**Dialect:** *Δωρική* Doric (frg)
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

unit_1 Ὑγίεια βροτοῖσι πρεσβίστα μακάρων, μετὰ σεῦ ναίοιμι τὸ λειπόμενον βιοτᾶς, σὺ δέ μοι πρόφρων ξυνείης· εἰ γάρ τις ἢ πλούτου χάρις ἢ τεκέων ἢ τᾶς ἰσοδαίμονος ἀνθρώποις βασιληίδος ἀρχᾶς ἢ πόθων οὓς κρυφίοις Ἀφροδίτας ἕρκεσιν θηρεύομεν, ἢ εἴ τις ἄλλα θεόθεν ἀνθρώποισι τέρψις ἢ πόνων ἀμπνοὰ πέφανται, μετὰ σεῖο, μάκαιρ᾽ Ὑγίεια, τέθαλε καὶ λάμπει Χαρίτων ὀάροις·

unit_2 σέθεν δὲ χωρὶς οὔτις εὐδαίμων ἔφυ.